ΙΦ. φονέα σε φήσω μητρὸς ἐξ Ἄργους μολεῖν.
ΟΡ. χρῆσαι κακοῖσι τοῖς ἐμοῖς, εἰ κερδανεῖς.
ΙΦ. ὡς οὐ θέμις σε λέξομεν θύειν θεᾷ.
ΟΡ. τίν᾽ αἰτίαν ἔχουσ᾽; ὑποπτεύω τι γάρ.
ΙΦ. οὐ καθαρὸν ὄντα, τὸ δ᾽ ὅσιον δώσω φόνῳ.
ΟΡ. τί δῆτα μᾶλλον θεᾶς ἄγαλμ᾽ ἁλίσκεται;
ΙΦ. πόντου σε πηγαῖς ἁγνίσαι βουλήσομαι.
ΟΡ. ἔτ᾽ ἐν δόμοισι βρέτας, ἐφ᾽ ᾧ πεπλεύκαμεν.
ΙΦ. κἀκεῖνο νίψαι, σοῦ θιγόντος ὥς, ἐρῶ.
ΟΡ. ποῖ δῆτα πόντου νοτερὸν εἶπας ἔκβολον;
ΙΦ. οὗ ναῦς χαλινοῖς λινοδέτοις ὁρμεῖ σέθεν.
ΟΡ. σὺ δ᾽ ἤ τις ἄλλος ἐν χεροῖν οἴσει βρέτας;
ΙΦ. ἐγώ· θιγεῖν γὰρ ὅσιόν ἐστ᾽ ἐμοὶ μόνῃ.
ΟΡ. Πυλάδης δ᾽ ὅδ᾽ ἡμῖν ποῦ τετάξεται πόνου;
ΙΦ. ταὐτὸν χεροῖν σοὶ λέξεται μίασμ᾽ ἔχων.
ΟΡ. λάθρα δ᾽ ἄνακτος ἢ εἰδότος δράσεις τάδε;
ΙΦ. πείσασα μύθοις· οὐ γὰρ ἂν λάθοιμί γε.
ΟΡ. καὶ μὴν νεώς γε πίτυλος εὐήρης πάρα.
ΙΦ. σοὶ δὴ μέλειν χρὴ τἄλλ᾽ ὅπως ἕξει καλῶς.
ΟΡ. ἑνὸς μόνου δεῖ, τάσδε συγκρύψαι τάδε.
ἀλλ᾽ ἀντίαζε καὶ λόγους πειστηρίους
εὕρισκ᾽· ἔχει τοι δύναμιν εἰς οἶκτον γυνή.
τὰ δ᾽ ἄλλ᾽ ἴσως ἂν πάντα συμβαίη καλῶς.
ΙΦ. ὦ φίλταται γυναῖκες, ὡς ὑμᾶς βλέπω,
καὶ τἄμ᾽ ἐν ὑμῖν ἐστιν ἢ καλῶς ἔχειν
ἢ μηδὲν εἶναι καὶ στερηθῆναι πάτρας
φίλου τ᾽ ἀδελφοῦ φιλτάτης τε συγγόνου.
καὶ πρῶτα μέν μοι τοῦ λόγου τάδ᾽ ἀρχέτω·
γυναῖκές ἐσμεν, φιλόφρον ἀλλήλων γένος,
σῴζειν τε κοινὰ πράγματ᾽ ἀσφαλέσταται.
σιγήσαθ᾽ ἡμῖν καὶ συνεκπονήσατε
φυγάς. καλόν τοι γλῶσσ᾽ ὅτῳ πίστις παρῇ.
ὁρᾶτε δ᾽ ὡς τρεῖς μία τύχη τοὺς φιλτάτους
ἢ γῆς πατρῴας νόστος ἢ θανεῖν ἔχει.